# ΒΗΣΣΑΡΙΩΝΟΣ
## ΣΤΙΧΟΙ ΕΠΙΤΥΜΒΙΟΙ ΙΑΜΒΙΚΟΙ
### *ἐπὶ τῷ τάφῳ τῆς μακαρίτιδος βασιλίσσης κυρᾶς Κλεόπης τῆς Παλαιολογίνης.*

Καὶ σώμασι πρίν, φιλτάτη, ξυνημμένοι
μία τε σὰρξ ὄντες, θεοῦ φάσκει λόγος,
τῷ πνεύματι ξύνειμεν ἄρτι κρειττόνως,
σοῦ μὲν νοητῶς καὶ τρόπον μοι καὶ λόγον
βίον τε καὶ νόημα πᾶν οὐρανόθεν
ἐμὸν καθαρῶς καθορώσης ᾗ θέμις,
ἐμοῦ διχασθέντος δέ, φεῦ, ἐπωδύνως
θερμοῖς τε σὺν δάκρυσιν ἐκκαλουμένου
μέρος τὸ λεῖπον καὶ καλὸν δή μοι μέλος.
Ταύτῃ γὰρ ἐν ταύτῃ σε γράψας εἰκόνι
πάντως ἐμαυτὸν προςπαρέγραψα τρόπῳ,
ἑνώσεως θέλων ξυνῆφθαί σοι τρίτῳ,
ὡς τοῦ πόθου σβέσαιμι τὴν δεινὴν φλόγα
ψυχῆς τ' ἐπαντλήσαιμι οἰδαῖνον πάθος.
Ἀλλ' ὦ θανοῦσα καὶ θεῷ ζῶσ' ἀξίως,
ἡνίκα τοῖς σοῖς τὸ χρεὼν ταὐτῷ τάφῳ
ὀστᾶ συνάψῃ τἀμὰ τετράδι τρόπων
αἰσθήσεων ἔξω με δεῖξαν πεντάδος,
πέμπτον σύναψον κρείττον' ἄλλον δὴ τρόπον
τρυφῆς μετασχεῖν καὶ θεοῦ θεωρίας,
σὺν σοὶ τὸ θαρρεῖν ὡς ἔχουσα καὶ μάλα
δοῦσα ξυνεργὸς ἁμὸς οἷα καὶ μέλος.

Περιλαμβάνεται ἐν φ. 48α τοῦ Μαρκιανοῦ 433, αἰῶνος ιε', ἀνήκοντος εἰς τὸν Βησσαρίωνα καὶ ἴσως αὐτογράφου αὐτοῦ.

2. (καὶ κατωτέρω). *τε*  12. *ξυνῆφθαι*  16. *ταυτῷ*